# Ἱερομάρτυς Πλάτων Ἀϊβαζίδης 21-9-1921.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου νέου Ἱερομάρτυρος, Πλάτωνος, τοὐπίκλην Ἀϊβαζίδου, Πρωτοσυγκέλλου Λήμνου, Καστορίας καὶ Ἀμασείας χρηματίσανος καὶ ἀρτίως ὑπ' ἀνόμων υἱῶν τῆς Ἄγαρ ἀπαγχονισθέντος διὰ τὴν τοῦ Χριστοῦ ἁγίαν πίστιν καὶ τὴν ἐλευθερίαν τοῦ εὐσεβοῦς ἡμῶν γένους.




Ὁ ἔνδοξος, νέος Ἱερομάρτυς τῆς πίστεως Πλάτων, ὁ κατὰ κάσμον Γεώργιος τοὐπίκλην Ἀϊβαζίδης, ἐγεννήθη ἐν τῇ ἱερᾷ νήσῳ Πάτμῳ τῇ 17η Σεπτεμβρίου 1852 ἐκ γονέων εὐσεβῶν, Νικολάου Ἀϊβάζη καὶ Σοφίας Φλωρίδου, οἵτινες ὑπέδειξαν αὐτῷ τὸν τῆς ἀρετῆς καὶ μυστηριακῆς ζωῆς δρόμον. Ἐν τῇ Πατμιάδι Σχολῇ σπουδάσας καὶ ἀνδρωθεὶς ἐκάρη μοναχὸς ἐν τῇ τοῦ Θεολόγου περιπύστῳ Μάνδρᾳ λαβὼν τὴν κλῆσιν Πλάτων. Ἐν αὐτῇ εἶτα προεχειρίσθη εἰς Διάκονον. Εὐλογίᾳ καὶ ἐγκρίσει τῆς ἱερᾶς Μονῆς τῆς αὐτοῦ μετανοίας μετέβη εἰς Κωνσταντινούπολιν πρὸς διεύρυνσιν τῶν αὐτοῦ σπουδῶν καὶ προσφορὰν τῶν αὐτοῦ ὑπηρεσιῶν ὡς δευτερεύοντος Διακόνου τῷ Οἰκουμενικῷ θρόνῳ. Ὑπηρέτησεν ὡς Πρωτοσύγκελλος ἐν ταῖς ἱεραῖς Μητροπόλεσι Λήμνου, Καστορίας καὶ Ἀμασείας. Εἰς τὴν τελευταίαν ἦλθεν ἀκολουθῶν τῷ γενναίῳ Ἱεράρχῃ Καστορίας καὶ εἶτα Ἀμασείας Γερμανῷ, τοὐπίκλην Καραβαγγέλῃ, τῷ τοῦ Μακεδονικοῦ ἀγῶνος πρωτεργάτῃ. Ὁ ἀκάματος ἐργάτης τοῦ Εὐαγγελίου Πλάτων νουθετῶν, διδάσκων καὶ ἐπιστηρίζων τὸ χριστεπώνυμον τῶν Ποντίων πλῆθος προσεπάθησε πᾶσιν ἀρέσκειν τοῖς πλησίον εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. Εὐγενὴς ὢν καὶ ἐνάρετος ἐκόσμησε τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ ἀνεπτέρωσε τὸ φρόνημα τοῦ ὑποδούλου καὶ θεοφίλου λαοῦ τοῦ Πόντου. Τίς δύναται ἀμφισβητῆσαι τὸ κοινωνικόν, φιλανθρωπικόν, πνευματικὸν καὶ ποιμαντικὸν ἔργον αὐτοῦ; Προκαλέσας ἕνεκα τούτου τὴν ὀργὴν καὶ μανίαν τῶν τῆς Ἄγαρ ἐκγόνων, οἵτινες σημεῖον ἐζήτουν διὰ τὴν ἀφάνισιν τοῦ αὐτόχθονος Ὀρθοδόξου λαοῦ τῶν Ποντίων, συνελήφθη ὁμοῦ μετὰ τοῦ Ἐπισκόπου Ζήλων Εὐθυμίου, τοῦ Ἱερομάρτυρος, καὶ ἑτέρων ἑξήκοντα καὶ ὀκτὼ προκρίτων τῆς Σαμψοῦντος, μεθ' ὧν εἱρκτῇ ἐνεκλείσθη. Ἐν αὐτῇ ἀόκνως ἐνεψύχου τοὺς αὐτοῦ συνδεσμίους καὶ ἐσφυρηλάτει τὴν αὐτῶν ὑπομονήν, ὅπως τὸν καλὸν ἀγῶνα νομίμως τελέσωσιν. Ἀπηωρήθη δεινῶς τῇ 21η Σεπτεμβρίου τοῦ 1921 γενόμενος ἱερεῖον ἄμωμον καὶ λογικὴ θυσία διὰ Χριστοῦ τὴν πίστιν τὴν ἁγίαν καὶ τοῦ εὐσεβοῦς ἡμῶν γένους τὴν ἐλευθερίαν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.